669 L'apertura del Mar Rosso ***

Dal racconto biblico: Mosè implora Dio di aprire il Mar Rosso, per consentire al popolo di Israele di sfuggire all'inseguimento degli Egiziani.

Particolarità sintattiche: genitivo assoluto; part. congiunto, sostantivato; prop. infinitiva, temporale, dichiarativa; periodo ipotetico.

Ἦγεν [Μωυσῆς] αὐτοὺς[1] ἐπὶ τὴν θάλασσαν, τῶν Αἰγυπτίων ὁρώντων· ἐν ὄψει γὰρ ἦσαν[2] καὶ τῷ πόνῳ τεταλαιπωρημένοι τῆς διώξεως εἰς τὴν ὑστεραίαν τὴν μάχην ὑπερβαλέσθαι καλῶς ἔχειν ὑπελάμβανον. Ἐπειδὴ δὲ πρὸς τῷ αἰγιαλῷ Μωυσῆς ἐγεγόνει, λαβὼν τὴν βακτηρίαν[3] τὸν Θεὸν ἱκέτευε καὶ σύμμαχον καὶ βοηθὸν ἐκάλει λέγων· "Οὐδ' αὐτὸς μὲν ἀγνοεῖς, ὅτι φυγεῖν ἡμῖν ἐκ τῶν παρόντων οὔτε κατὰ ῥώμην οὔτε κατ' ἐπίνοιάν ἐστιν ἀνθρωπίνην, ἀλλ' εἰ δή τι πάντως σωτήριον στρατῷ[4] τῷ κατὰ τὴν σὴν βούλησιν ἀφέντι τὴν Αἴγυπτον, σόν ἐστιν ἐκπορίζειν. Ἡμεῖς τε ἄλλην ἀπεγνωκότες ἐλπίδα καὶ μηχανὴν εἰς τὴν ἀπὸ σοῦ μόνου καταφεύγομεν, καὶ εἴ τι παρὰ τῆς σῆς ἔλθοι προνοίας ἐξαρπάσαι τῆς Αἰγυπτίων ὀργῆς ἡμᾶς δυνάμενον ἀφορῶμεν". [...] Τοσαῦτα ἐπιθειάσας τύπτει τῇ βακτηρίᾳ τὴν θάλατταν. Ἡ δ' ὑπὸ τῆς πληγῆς ἀνεκόπη καὶ εἰς αὐτὴν ὑποχωρήσασα γυμνὴν ἀφίησι τὴν γῆν ὁδὸν Ἑβραίοις εἶναι καὶ φυγήν. Μωυσῆς δὲ ὁρῶν τὴν ἐπιφάνειαν τοῦ Θεοῦ καὶ τὸ πέλαγος ἐκκεχωρηκὸς αὐτοῖς τῆς ἰδίας ἠπείρου πρῶτος ἐνέβαινεν αὐτῇ καὶ τοὺς Ἑβραίους ἐκέλευεν ἕπεσθαι διὰ θείας ὁδοῦ ποιουμένους τὴν πορείαν καὶ τῷ κινδύνῳ τῶν παρόντων πολεμίων ἡδομένους καὶ χάριν ἔχοντας διὰ τὴν παράλογον οὕτως ἐξ αὐτοῦ σωτηρίαν ἀναφανεῖσαν.

GIUSEPPE FLAVIO

1 αὐτοὺς: ossia gli Ebrei.
2 ἐν ὄψει γὰρ ἦσαν: «(gli Egiziani) erano sotto gli sguardi (degli Ebrei)».
3 τὴν βακτηρίαν: «la verga» che Mosé portava con sé e con cui operava i miracoli del Signore.
4 στρατῷ: qui significa «folla», «massa».

Traduzione: .....